

# ΜΑΡΤΙΟΥ Ε΄

## Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν

# ΚΟΝΩΝΟΣ

## ἐν Ἀκάμαντι

ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἐν Ἀκάμαντι Κύπρου, λαμπρῶς ἀσκήσαντα, καὶ ἀγωγῇ ἀμέμπτῳ, καὶ σεμνῇ πολιτείᾳ, Χριστῷ τῷ Παντεπόπτῃ καὶ Λυτρωτῇ, ὄντως εὐαρεστήσαντα, ἐγκωμιάσωμεν ᾄσμασι μελιχροῖς, πάντες Κόνωνα τὸν ἔνθεον.

Ἀσκητικῶν παλαισμάτων, ὡς ἀντιμίσθιον, τὴν χάριν ἀπεδέξω, σὺν ἀγγέλοις χορεύειν, ἐν δόμοις μάκαρ Κόνων τῶν οὐρανῶν, καὶ πρεσβεύειν ἀείποτε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ χρεωστικῶς, ἀνυμνούντων σου τὴν ἄσκησιν.

Τὸν κατατήξαντα σάρκα, αὐτῆς σὺν πάθεσι, καὶ ταῖς ἐπιθυμίαις, προσευχῇ ἀσιγήτῳ, νηστείᾳ, χαμευνίᾳ καὶ σιωπῇ, ἀσκητὴν τοῦ Ἀκάμαντος, ἀνευφημήσωμεν Κόνωνα θεαυγῆ, ὥσπερ μέροπα ἰσάγγελον.

Ἐν ἄκρῳ τῷ δυσπροσίτῳ, τῆς Κύπρου ὅσιον, Θεῷ προσομιλοῦντα, μόνον μέλψωμεν πάντες, βοῶντες· ἐρημῖτα θεοειδές, μάκαρ Κόνων, ἡγίασας, τῶν σῶν δακρύων τοῖς χεύμασι καὶ ῥοαῖς, τῶν ἱδρώτων γῆν Ἀκάμαντος.

Δόξα... Ἦχος β΄

Ἐρημῖτα ὅσιε, Κόνων ἀοίδιμε, τοῦ Προδρόμου τοὺς τρόπους μιμούμενος, ἀντὶ τοῦ Ἰορδάνου Ἀκάμαντα ᾤκησας, ἐνδιαιτώμενος βοτάνῃ καὶ ἀκροδρύοις· ὅθεν σοῦ, τοῦ θεωθέντος κατὰ μέθεξιν, τὴν μνήμην τελοῦντες, καὶ μεγαλύνοντες τῆς τιμίας ἀσκήσεώς σου τὰ κατορθώματα, τὸν ἰσχύσαντά σε Χριστὸν τὸν Θεὸν ἡμῶν δοξάζομεν.

Καὶ νῦν... Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις θεοειδῶν, πατέρων νήσου Κύπρου, κοσμῆτορ πάτερ Κόνων, ἀγγελικὸν ὡς βίον, σαφῶς ἐπιδειξάμενος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ἔπηξας καλιάν, ἀσκητικῶν σου πόνων, φιλέρημος ὡς ὄρνις, πνευματοφόρε Κόνων, ἀνίκμῳ ἐν Ἀκάμαντι.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὅσιε ἀσκητά, Δαυῒδ ὡς προφητάναξ, Θεὸν ἐδοξολόγεις, τῇ λύρᾳ προσευχῶν σου, ἀπαύστως ἐν Ἀκάμαντι.

Δόξα... Τριαδικὸν

Κλέος ἐρημιτῶν, καὶ χαρμονὴ ἀζύγων, Τριὰς ὑπεραγία, ἐλέησον τοὺς πίστει, τὸ κράτος σου δοξάζοντας.

Καὶ νῦν... Θεοτοκίον

Μάκτρῳ σῶν προσευχῶν, ῥοὰς ἀπόσμηξόν μου, δακρύων Θεοτόκε, καὶ εἰς χαρὰν τὰς θλίψεις, σῶν δούλων μεταποίησον.

Ἀπολυτίκιον

Ἦχος πλ. α' Τὸν συνάναρχον Λόγον.

Τοῦ Ἀκάμαντος ἔμψυχον σεμνολόγημα, καὶ νήσου Κύπρου ὁσίων, φωτοειδῶν θησαυρόν, τὸν ἀσκήσει θεαρέστῳ διαλάμψαντα, Κόνωνα μέλψωμεν πιστῶς, μελιρρύτοις ἐν ᾠδαῖς, βοῶντες· λαμπρὲ κοσμῆτορ, ἡσυχαστῶν, χαμαιζήλων, ἡμῶν παθῶν σκοτείαν σκέδασον.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος δ' Ὡς γενναῖον ἐν Μάρτυσιν.

Πνευματέμφορον Κόνωνα, ὥσπερ ἄϋλον ἄνθρωπον, ἐν ἀκρωτηρίῳ πολιτευσάμενον, τῷ δυσπροσίτῳ Ἀκάμαντος, καὶ πάντα σκιρτήματα, παριδόντα τῆς σαρκός, εὐλαβῶς ἀνυμνήσωμεν, καὶ κραυγάσωμεν· χαῖρε κλέος ἐρημιτῶν τῆς Κύπρου, χαῖρε στῦλε σωφροσύνης, καὶ ἀρετῆς ἐνδιαίτημα.

Τὸ περίδοξον καύχημα, νήσου Κύπρου τιμήσωμεν, γεγηθότες Κόνωνα τὸν πανεύφημον, τὸν ὥσπερ κρίνον ἀνθήσαντα, ἠδὺ ἐν Ἀκάμαντι, καὶ μυρίσαντα ὀδμαῖς, τῆς αὐτοῦ ὁσιότητος, καὶ χρηστότητος, χριστωνύμων χορείας νῦν βοῶσας· χαῖρε κύμινον ἁγνείας, καὶ σωφροσύνης κιννάμωμον.

Τὸν ὀφθέντα ὑπέρτερον, τῆς τοῦ κόσμου συγχύσεως, ἀσκητὴν Ἀκάμαντος ἐνθεώτατον, νοΐ αὐτοῦ ὑποτάξαντα, τὴν σάρκα τὴν πρόσκαιρον, ἀκρεμόνα μοναστῶν, χαριτόβρυτον Κόνωνα, εὐφημήσωμεν, ὡς οὐράνιον μέροπα τὰς τάξεις, τὸν φαιδρύνοντα ἀγγέλων, ἐν τῇ ἀγήρῳ λαμπρότητι.

Τὸν τοῦ ὁσιομάρτυρος, Ἰσαυρίας θεόφρονος, κηπουροῦ τε ἅμα σεπτὸν συνώνυμον, χαμαικοιτίᾳ, στερήσεσι, δακρύων τοῖς ῥεύμασιν, ἀσιτίᾳ καὶ εὐχῇ, νυχθημέρῳ ἐκλάμψαντα, ὥσπερ ἥλιον, ἐν τῷ ἄκρῳ τῷ δυτικῷ τῆς Κύπρου, οἰκητήριον ὀρνέων, μόνον ἀγρίων ὑπάρχοντι.

Οὐρανόφοιτον Κόνωνα, θεοείκελον ὅσιον, γῆν τε καὶ οὐράνια τὸν ἑνώσαντα, αὐτοῦ ἀόκνοις δεήσεσιν, ἐκθύμως τιμήσωμεν, ἀγωγῆς ὡς ἀκραιφνοῦς, ἱερώτατον πρόβολον, καὶ κυπάρισσον, ἀκτησίας εὐθυτενῆ βοῶντες· χαῖρε πόλις ἡ κειμένη, ἐπάνω ὄρους σεμνότητος.

Δεῦτε πάντες φιλέορτοι, μελῳδήμασι στέψωμεν, μνήμην τὴν σεβάσμιον τοῦ παμμάκαρος, καὶ οὐρανόφρονος Κόνωνος, τῆς Πάφου περίχωρον, Ἀρσινόης τοὺς δρυμούς, καὶ Ἀκάμαντος ἔρημον, τοῦ κοσμήσαντος, πολιτείᾳ αὐτοῦ τῇ φιλοθέῳ, δι' ἧς Κτίσαντι μεγάλως, καὶ Λυτρωτῇ εὐηρέστησε.

Δόξα... Ἦχος πλ. β'

Φιλάρετος ὁ βίος σου καὶ πανίερον τὸ τέλος σου, οὐρανοπολίτην ἔδειξέ σε, Κόνων ἀξιομακάρι-

στε· σὺ γὰρ ὡς ἄσαρκος ἀγωνισάμενος, καὶ ὡς ὄρνις φιλέρημος πολίσας Ἀκάμαντα, ὑπερόπτης ὤφθης πάσης χοϊκῆς συναφείας καὶ σχέσεως· καὶ νῦν Χριστῷ συνὼν ἐν οὐρανίοις λειμῶσιν, ἀδιαλείπτως Αὐτῷ πρέσβευε, καταπέμψαι πᾶσι τοῖς σὲ μακαρίζουσιν, ἄμφω ὑγίειαν καὶ ῥῶσιν καὶ δύναμιν.

Καὶ νῦν... Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα

### Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα

(Κεφ. β΄ 1-11)

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ᾽ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ᾽ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ, καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σώζει ἐν καιρῷ θλίψεως.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. α΄ 1–10)

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφία καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1– 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν

Στιχηρὰ Ἰδιόμελα

Ἦχος α΄

Τέρπου καὶ χόρευε ἡ ἁγιοτόκος Κύπρος, ὅτι ἐν ταῖς ἐρημίαις σου ὡς παρ᾽ ὑδάτων διεξόδοις, ὡς ῥόδον ἤνθησε Κόνων ὁ θειότατος· οὗτος γὰρ τὸ ἄγονον γεωργήσας τῆς χθονὸς δάκρυσιν ἀειρύτοις, καὶ

φυτοκόμος ἀρετῶν γενόμενος, πολύχουν καρπὸν ἀπέδωκε τῷ Κυρίῳ· Αὐτῷ οὖν νῦν συνευφραινόμενος, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν τῶν τιμώντων, αὐτοῦ τὰ παλαίσματα πρὸς πνευματικὴν τελείωσιν.

Ἦχος β΄

Τὸν τοῦ Χριστοῦ ἐραστὴν καὶ γνήσιον φίλον, καὶ κλέος καὶ καύχημα τῶν μονοτρόπων, Κόνωνα τὸν μακάριον, χοροὶ φιλεόρτων συνελθόντες εὐφημήσωμεν· οὗτος γὰρ ὑπὸ θεϊκοῦ τρωθεὶς ἔρωτος, τὴν ἀπάτην ἔφυγε τοῦ ματαίου κόσμου, καὶ τὸν ζυγὸν τοῦ Χριστοῦ ἀράμενος ἐπωμάδιον, τῆς θείας ἀγάπης τὸν ἄριστον δρόμον διώδευσε· ἴσος οὖν γεγονὼς ταῖς νοεραῖς οὐσίαις, δόξαν καὶ τιμὴν θεόθεν ἄπλετον εἴληφε, πρεσβεύειν ὑπὲρ τῶν τιμώντων αὐτὸν ἐν ᾄσμασι.

Ἦχος γ΄

Τὸν ἐν σαρκίῳ γεηρῷ ὡς ἄσαρκον πολιτευσάμενον, καὶ τοῖς ἀοράτοις ἐχθροῖς προσπαλαίσαντα δυνάμει τοῦ Πνεύματος, Κόνωνα τὸν πανθαύμαστον, αἱ γενεαὶ τῶν εὐσεβῶν μέλψωμεν· οὗτος γὰρ δι᾽ ἀγάπην Κυρίου ἀρνησάμενος πάντα τὰ ἡδέα, ὡς φθαρτὰ καὶ ῥέοντα, τὰ αἰώνια καὶ ἄρρευστα ἐπεζήτησεν· ἐπιτυχὼν οὖν τοῦ ἐφετοῦ δι᾽ ἀγῶνος συντόνου, οὐρανοπολίτης ἀξίως γέγονε, καὶ πρεσβευτὴς ἡμῶν πρὸς Κύριον θερμότατος.

Ἦχος δ΄

Ἐξέπληξε τοὺς βροτοὺς τῆς ἐν ἀσκήσει βιοτῆς σου, τὰ πανθαύμαστα σκάμματα, ἐρημῖτα τοῦ Ἀκάμαντος Κόνων θεόφιλε· σὺ γὰρ τὴν χάριν ἑλκύσας τοῦ Παναγίου Πνεύματος, τὰ στίφη τῶν δαιμόνων ἀνδρείως εἰς φυγὴν ἔτρεψας· ὅθεν πνευματέμφορος ὀφθεὶς τοῖς πᾶσι, χάριν εἴληφας ἀκάθαρτα πνεύματα διώκειν, καὶ ποδηγετεῖν πρὸς σωτηρίαν τοὺς σοὶ καταφεύγοντας.

Δόξα... Ἦχος ὁ αὐτὸς

Τὸν ἐν θεωρίᾳ ὑψίνουν καὶ ἐν πράξει ὑπερνεφῆ ὅσιον, ὡς τύπον καὶ κανόνα ἀζύγων, Κόνωνα, τιμήσωμεν· οὗτος γὰρ νηστείᾳ ἐπιμόνῳ καὶ προσευχῇ ἀδιαλείπτῳ, σάρκα κατέτηξε καὶ νοῦν ἐπτέρωσε πρὸς τὸν Κύριον τῆς δόξης· διὰ παντὸς οὖν ἀγγέλοις συναυλιζόμενος, ἀπαύστως Αὐτῷ πρεσβεύει, ὑπὲρ τῶν τιμώντων αὐτοῦ μνήμην τὴν ἀεισέβαστον.

Καὶ νῦν... Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε· ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ τῷ Χριστῷ ὁμιλεῖν, ἐπιποθῶν μόνον ἐν βίῳ προσκαίρῳ σου, τρισόλβιε ἐρημῖτα, στηλογραφία ἠθῶν, ἄμεμπτε καὶ σκεῦος, θείας χάριτος· στρουθίον γὰρ ὅσιε, ὡς φιλέρημον ἔπηξας, τὴν καλιάν σου, τῶν σεπτῶν εἰς Ἀκάμαντα, σῆς ἀσκήσεως, πόνων θεοφορούμενε· ἔνθα καὶ θείας πτέρυγας, ψυχῆς σου ἐπέτασας, πρὸς δυσαντίβλεπτα ὕψη, τῆς οὐρανίου λαμπρότητος, ἀγγέλων χορείαις, συναγάλλεσθαι παμφώτοις, πάτερ ἰσάγγελε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις τῶν ἀσκητῶν καλλονή, ὁ ῥιζοτόμος τῆς κακίας τοῦ ὄφεως, καὶ ἄριστος φυτοκόμος, τῶν ψυχοτρόφων ἠθῶν, Κόνων μονοτρόπων, ἐγκαλλώπισμα· σταυρὸν γὰρ ἀράμενος, τοῦ Χριστοῦ ἐθριάμβευσας, τὸν βροτοκτόνον, καὶ Θεοῦ ἐφανέρωσας, τὴν ἀνίκητον, δόξαν πάτερ καὶ δύναμιν· ὅθεν ἐκδυσωποῦμέν σε, Ἀκάμαντος καύχημα, ὡς παρεστὼς τῷ Κυρίῳ, καὶ φιλανθρώπῳ Παντάνακτι, μὴ παύσῃ πρεσβεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν σὴν τελοῦντες λαμπρῶς, τῆς Ἀρσινόης καὶ τῆς Πάφου φιλέορτοι, καὶ πάντες τῆς νήσου Κύπρου, τῶν χριστωνύμων χοροί, μακαρίζομέν σε, Κόνων ὅσιε· ὡς στῦλος γὰρ πάμφωτος, καταυγάζεις τὰ πέρατα φαιδραῖς ἀκτῖσι, νυχθημέρων καμάτων σου, καὶ πυρσεύμασιν, ἀρετῶν θεαρέστων σου· καὶ ἀπελαύνεις ζόφωσιν, ῥαστώνης τιμώντων σε, καὶ ἀκηδίας καὶ μίσους, καὶ ἐμπαθείας ἑκάστοτε, τῶν ἐπιβοώντων, σοῦ τὴν παναγίαν κλῆσιν, περικλεέστατε.

Δόξα... Ἦχος πλ. δ΄

Ὡς ἄσυλον ταμειοῦχον τῆς ἐνθέου σοφίας καὶ χάριτος, μακαρίζομέν σε, ἀσκητῶν διάκοσμε καὶ μονοτρόπων κλέος, ὁσιώτατε Κόνων, πάτερ ἡμῶν, ἐν κατανύξει κραυγάζοντες· Ἀκάμαντος οἰκιστὰ καὶ

ἔφορε, ὁ θεϊκῇ χειρὶ λαβὼν στέφος ἄφθαρτον, τῷ ἱλαρῷ στεφοδότῃ πρέσβευε, ἡμῖν τοῖς σὲ τιμῶσιν ἐκθύμως καταπέμψαι ἀφθόνως, τὸ Αὐτοῦ μέγα καὶ πλούσιον ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Τοῦ Ἀκάμαντος ἔμψυχον σεμνολόγημα, καὶ νήσου Κύπρου ὁσίων, φωτοειδῶν θησαυρόν, τὸν ἀσκήσει θεαρέστῳ διαλάμψαντα, Κόνωνα, μέλψωμεν πιστῶς, μελιρρύτοις ἐν ᾠδαῖς, βοῶντες· λαμπρὲ κοσμῆτορ, ἡσυχαστῶν, χαμαιζήλων, ἡμῶν παθῶν σκοτείαν σκέδασον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΟΡΘΡΩι

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄ Τὸν τάφον σου Σωτήρ.

Πολύφωτος ἀστήρ, ἀρετῆς ἀνεδείχθης, καὶ στάθμη ἀκριβής, ἐγρηγόρσεως Κόνων, Ἀκάμαντος σέμνωμα, καὶ ἀσκήσεως ἔσοπτρον· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, τὰς σὰς ἀόκνους πρεσβείας, πρὸς Κτίστην αἰτούμεθα.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Πιστῶν καταφυγή, Παναγία Παρθένε, ἀτόποις λογισμοῖς, τὸν σὸν Τόκον καὶ ἔργοις, αἰσχροῖς παροργίζοντας, δεξαμένη ὁδήγησον, πρὸς μετάνοιαν, καὶ ἀγαθῶν ἔργων πρᾶξιν, ὡς ἰθύντειρα, ἀπλανεστάτη πρὸς πόλον, τῶν πίστει σπευδόντων σοι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ἐπ' ὤμων ἀράμενος, τὸν τοῦ Κυρίου σταυρόν, Ἀκάμαντα ᾤκησας, καὶ ἀσκητῶν παμφαῶν, ἐδείχθης ἀπαύγασμα, Κόνων πνευματοφόρε· ὅθεν χάριν ἐλαύνειν, χαμαιζηλίας ζόφον, τῶν θερμῶν ἱκετῶν σου, ἀπείληφας καὶ σκότος παθῶν, πάτερ ἐξώτερον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Παράδεισος πάντερπνος, παντοδαπῶν ἀρετῶν, ἐδείχθης Μητρόθεε, τοῦ Βασιλέως Χριστοῦ, καθέδρα πολύτιμε· ἐν γὰρ τῇ σῇ νηδύϊ, τὸν μυρίζοντα πάντας, χάρισιν Αὐτοῦ θείαις, Παναγία Παρθένε, ἐβάστασας Σωτῆρα ἡμῶν, καὶ Παντοκράτορα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Ἦχος γ΄ Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Πρὸς τὰ ἐντάλματα Θεοῦ ἐρρύθμισας, βίον σου πρόσκαιρον πυρσὲ Ἀκάμαντος, καὶ πρᾶξιν ἔδειξας πρὸς σῆς ἐπίβασιν θεωρίας· ὅθεν τηλαυγέστατος ἀσκητῶν φάρος πέφηνας, καταυγάζων ἅπαντας τοὺς πιστοὺς πρὸς ἐπίγνωσιν, τοὺς πόθῳ σοι καὶ πίστει βοῶντας· Χαῖρε πνευματοφόρε Κόνων.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου

Προκείμενον, Ἦχος δ΄

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Πᾶσα πνοὴ

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Λουκᾶν**

(Κεφ. ς΄ 17-23)

(Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ ἑβδομάδος Λουκᾶ)

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ...

Ὁ Ν΄ Ψαλμὸς

Δόξα... Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον

Ἦχος πλ. β΄

Τὸν ἐν Ἀκάμαντι ὑπὲρ φύσιν ἀσκήσαντα, καὶ ὡς μέλισσα σοφὴ καὶ φίλεργος, τὸ νέκταρ τῶν ἀρετῶν συλλέξαντα, Κόνωνα τὸν πολυύμνητον ἀνυμνήσωμεν κράζοντες· ἐνδιαίτημα ἀπαθείας καὶ νήψεως, καὶ κατοικητήριον τοῦ Παρακλήτου Πνεύματος, καθάρισον ἡμᾶς ῥυπτικαῖς εὐχαῖς σου πάσης κηλῖδος, καὶ καταγώγια χάριτος ἀνάδειξον τοὺς τιμῶντάς σε.

Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·
Κόνωνος τοῦ ἐν τῷ Ἀκάμαντι ἐγκώμιον. Χ.Μ.

Ὠδὴ α΄

Ἦχος α΄ Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Κόνωνος φωστῆρος ἀσκητῶν, τοὺς νυχθημέρους καμάτους ὑμνήσωμεν, τὰς γονυκλισίας καὶ τὰς προσευχάς, τὰς ἀσιγήτους κράζοντες· χαῖρε τῶν ἀγγέλων, ὁ μιμητὴς καὶ ὁμόζηλος.

Ὄρος εὐφροσύνην νοητήν, τῆς ἀπαθείας σταλάζον καὶ νήψεως, ὤφθης Κόνων ὅσιε τὸν πικρασμόν, παθῶν γλυκαῖνον χάριτι, θείου Παρακλήτου, πιστοὺς σοφίζοντος πάντοτε.

Νοῦν σου πρὸς τὰ ὕψη οὐρανῶν, τὰ δυσαντίβλεπτα Κόνων ἀνύψωσας, καὶ σαρκὸς ἐμάρανας ὁρμάς, τὰς χαμαιζήλους πάντιμε, ἀγωγῇ ἀρίστη, μοναδικῆς πολιτείας σου.

Θεοτοκίον

Ὥσπερ μόνην σε ἐν γυναιξί, ὑπερφυῶς συλλαβοῦσαν καὶ τέξασαν, τοῦ Θεοῦ τὸν Λόγον τὸν σεπτόν, τῶν χοϊκῶν συστήματα, εὐχαρίστῳ γλώσσῃ, πάντα Σεμνὴ μακαρίζομεν.

Ὠδὴ γ΄

Ὁ μόνος εἰδὼς τὴν τῶν βροτῶν.

Νοός σου εὐθύτητι σεπτέ, τῇ πρὸς Θεὸν τὸν ἅγιον, τοῦ ἀρχεκάκου πλάνου ἐξέκλινας, τρισμάκαρ Κόνων τὰ πανουργεύματα· ὅθεν πρὸς οὐράνια, δώματα κατέπαυσας, τῷ Δεσπότῃ Χριστῷ παριστάμενος.

Ὁσίων τῆς Κύπρου καλλονή, σοφίαν ἔχων σύνοικον, καὶ ἀρετὴν ἀχώριστον σύναυλον, ἐπολιτεύσω καθάπερ ἄϋλος, Κόνων θεοφόρε, ἀσκητὰ Ἀκάμαντος· ὅθεν στέφος ἐδέξω ἀμάραντον.

Σαρκὸς καθυπέταξας ὁρμάς, ἀσκήσει ψυχοτρόφῳ σου, καὶ λογισμοὺς κακοὺς ἐφυλάκισας, καρδιακῇ σου εὐχῇ μακάριε, Κόνων· ὅθεν πνεῦμα, σὸν σαφῶς ἐπτέρωσας, πρὸς Θεὸν εὐσεβεῖς τὸν στηρίζοντα.

Θεοτοκίον

Ταχεῖα μερόπων βοηθός, καταφυγὴ καὶ στήριγμα, καὶ ἀντιλήπτωρ ὤφθης πανύμνητε, Θεογεννῆτορ ἁγνὴ ἀειπάρθενε, σοὶ καταφευγόντων, καὶ βοώντων πάντοτε· ποδηγὲ πρὸς Θεόν, χαῖρε Δέσποινα.

Κάθισμα

Ἦχος γ΄ Θείας πίστεως.

Νόμοις ὅσιε Θεοῦ ὑπείκων, καὶ προστάγμασιν αὐτοῦ ἐμφρόνως, πειθαρχῶν τῶν δωρεῶν θείου Πνεύματος, ἐλαία ὤφθης χρηστότητος σύγκαρπος, καὶ ἀρετῆς Κόνων κέδρος μυρίπνοος· ὅθεν μνήμην σου τὴν πάνσεπτον ἑορτάζοντες, ἀζύγων σε ὡς βάθρον μακαρίζομεν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ῥητορεύουσα οὐ σθένει γλῶσσα, κατ᾽ ἀξίαν σε μέλπειν Παρθένε, ἀνωτέραν Χερουβὶμ οὖσαν τάγματος, καὶ ὑπερτέραν ἁπάσης τῆς κτίσεως· διὸ σὺν Κόνωνι τῷ ἐν Ἀκάμαντι, καθικέτευε Χριστόν, τὸν Θεὸν καὶ Τόκον σου, πανάγιον ὑπὲρ τῶν ἀνυμνούντων σε.

ᾨδὴ δ΄

Ὄρος σε τῇ χάριτι.

Ὅσιε πανεύφημε ῥυθμίζων τὸν βίον σου, τὸν καθαρὸν φόβῳ Θεοῦ, ἅρμα Αὐτοῦ φωτολαμπές, καὶ πάμφωτον γέγονας, εἰς οὐρανοὺς καθοδηγούμενον ἅγιε, τῆς ἀπαθείας πηγὴ Κόνων ἄφθονε.

Ὕμνοις μακαρίσωμεν τὸν φάρον Ἀκάμαντος, τὸν τηλαυγῶς καὶ παμφαῶς, φαίνοντα πᾶσι θεαυγοῦς, ἀκτῖσιν ἀσκήσεως, καὶ ἀρετῆς καὶ ἀκτησίας πυρσεύμασι, τοῖς φιλοσίων χοροῖς θεῖον Κόνωνα.

Ἔλαμψας ὡς ἥλιος ἐνθέου ἀσκήσεως, ἐν νήσῳ Κύπρῳ ἀσκητά, Κόνων βολαῖς σου ἀγωγῆς, ἐνθέου καὶ νήψεως, καὶ κατεφώτισας πιστῶν τὴν ὁμήγυριν, ἀναβοῶσαν· λαμπὰς χαῖρε πίστεως.

Θεοτοκίον

Νύκτα πόρρω δίωξον τῆς ζοφερᾶς συνηθείας μου, Θεοκυῆτορ ἀγαθή, τοῦ σοὶ προσπίπτοντος πιστῶς, καὶ ἦμαρ ἀνάτειλον, τῷ σῷ οἰκέτῃ μετανοίας δεήσεσι, τοῦ ἀσκητοῦ τοῦ Ἀκάμαντος, Κόνωνος.

ᾨδὴ ε΄

Ὁ φωτίσας τῇ ἐλλάμψει.

Τῶν ὁσίων ἀσκητῶν ἡ χορεία εὐφράνθητι, καὶ ὁ δῆμος χριστωνύμων ἀγάλλου καὶ χόρευε· ὅτι νῦν ἐξέλαμψε λαμπρά, ἡ μνήμη τοῦ πανσόφου, ἐν ἀσκηταῖς θείου Κόνωνος.

Ὡς ἀδύτῳ ἐλλαμφθεὶς φέγγει Κόνων μακάριε, ἐνεπλήσθης τοῦ φωτὸς τοῦ Θεοῦ· ὅθεν ἅπαντας, τοὺς ἀνευφημοῦντας εὐλαβῶς, φωτίζεις καθ' ἑκάστην, τὴν φωταυγῆ μάκαρ μνήμην σου.

Ἀσκητὰ περικλεὲς τοῦ Ἀκάμαντος πρόσδεξαι, τὸ ἐγκώμιον ἡμῶν τῶν ἐκθύμως τιμώντων σε, καὶ παράσχου πᾶσι δαψιλῶς, τὴν χάριν σου τὴν θείαν, καὶ ἀρωγήν σου καὶ εὔνοιαν.

Θεοτοκίον

Καταξίωσον τυχεῖν τῆς ἀφθίτου λαμπρότητος, καὶ χαρᾶς τῶν οὐρανῶν τοὺς θερμῶς σοι προσπίπτοντας, καὶ σὲ μακαρίζοντας τρανῶς, Κυρία Θεοτόκε, σεπτοῦ ἐντεύξεσι Κόνωνος.

ᾨδὴ ϛ΄

Ἐκύκλωσεν ἡμᾶς.

Ἀνδρείως ἀντετάξω Κόνων ὅσιε, κατὰ τοῦ πολεμήτορος, συμφραξάμενος τῷ ὅπλῳ τοῦ Σταυροῦ, καὶ λαμπρὸς νικήτωρ ἀσκητὰ ὀφθείς, νίκης ἀπείληφας ἀφθίτου, στέφος ἀμάραντον.

Μακάρων ταῖς χορείαις συνηρίθμησαι, ἰσάγγελε ἄνθρωπε, ὡς τελέσας τὸν ἀγῶνά σου καλῶς, καὶ εὐαρεστήσας τῷ Θεῷ ἡμῶν, τῇ σῇ ἀμέμπτῳ πολιτείᾳ, Κόνων ἀοίδιμε.

Ἀκάμαντος ἀνίκμου Κόνων ἄρουραν, ἐπίανας ῥεύμασι, σῶν ἱδρώτων πάτερ τῶν ἀσκητικῶν, καὶ δακρύων ῥείθροις πρὸς πνευματικήν, καρποφορίαν θεοφόρε, ἀζύγων ἀγλάϊσμα.

Θεοτοκίον

Νικήτορας κατὰ παθῶν ἀνάδειξον, ἡμᾶς τοὺς οἰκέτας σου, Θεοτόκε κράζομεν πανευλαβῶς· σὺ γὰρ πέλεις πάντων ἐν μάχαις ἀεί, ἀκέστωρ, σύντροφος, προστάτις, Ἁγνή, καὶ ὑπέρμαχος.

Κοντάκιον

Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τὸν καταστείλαντα σαρκὸς ὁρμὰς ἀτάκτους, ἀσκητικῇ διαγωγῇ καὶ ἐποφθέντα, ἐγκρατείας θείαν στήλην ὡς νήσου Κύπρου, μονοτρόπων μυροθήκην καὶ Ἀκάμαντος, ὄλβον ἄσυλον ὁσίων εὐφημήσωμεν, πόθῳ κράζοντες· Χαίροις Κόνων μακάριε.

Ὁ Οἶκος

Ἄγγελοι σοὺς καμάτους, θεασάμενοι Κόνων, ἐξέστησαν πρὸς κτῆσιν σοφίας, καὶ τελείωσιν τῆς ἀρετῆς, καὶ βροτῶν ἰδόντες οἱ χοροὶ πόνους σου, ἀσκητικοὺς ἐκραύγαζον, ψυχῆς ἐν κατανύξει ταῦτα·

Χαῖρε ἀπόρριψις τῶν ἐνύλων·
χαῖρε ἀτένισις τῶν ἀΰλων.

Χαῖρε πολιστὴς τοῦ ἀνίκμου Ἀκάμαντος·
χαῖρε οἰκιστὴς ἐρημίας φιλόθεος.

Χαῖρε ὅτι τὰ οὐράνια ἐπεπόθησας σαφῶς·
χαῖρε ὅτι τὰ ἐπίγεια ἀπηρνήσω νουνεχῶς.

Χαῖρε σάπων τὸν ῥύπον τῶν παθῶν ὁ καθαίρων·
χαῖρε κώδων ἐξ ὕπνου ῥαθυμίας ἐγείρων.

Χαῖρε πυρσὸς ἀσκήσεως πάμφωτος·
χαῖρε φρουρὸς τιμώντων σε ἄγρυπνος.

Χαῖρε ὁσίων Κύπρου φαιδρότης·
χαῖρε πατέρων σεπτῶν κοσμιότης.

Χαίροις Κόνων μακάριε.

## Συναξάριον

Τῇ Ε΄ Μαρτίου, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κόνωνος, τοῦ ἐν τῷ ὄρει τοῦ Ἀκάμαντος ἀσκήσαντος .

Στίχοι

Κόνων, Ἀκάμαντος ἀνίκμου, ἱδρώτων,
Ῥοαῖς ἐπίανας ἀσκήσεως γαῖαν.

Ὁ ὅσιος πατὴρ ἡμῶν Κόνων, καταλιπὼν τὸν κόσμον, τὸ ἅγιον καὶ ἀγγελικὸν περιεβλήθη σχῆμα, κείρας τὴν κόμην τῆς κεφαλῆς καὶ μοναχὸς γενόμενος, βίον καὶ πολιτείαν ἐκτήσατο θεάρεστον.

Εἶτα καθείρξας ἑαυτὸν ἔν τινι σπηλαίῳ ἐν τοῖς δυσβάτοις καὶ ἀδιοδεύτοις μέρεσι τοῦ ὄρους Ἀκάμαντος, τὴν κατὰ Θεὸν ἀρετὴν μετελθεῖν ἠγωνίζετο, ἔχων ὡς τύπον, τὸν τῶν μοναχῶν ἀρχέτυπον, Ἱλαρίωνα, τὸν ἀριστέα καὶ τῆς ἐγκρατείας ἀκριβῆ κανόνα. Ὁσίως καὶ ἀμέμπτως τὸν βίον διατελέσας, πρὸς Κύριον ἐξεδήμησεν. Ἐγγύς που τοῦ σπηλαίου ἀναβλύζει ὕδωρ παντοδαπὰς ἰάσεις τελόν.

Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις εἰς κώμην Κισσόνεργαν, ἔνθα ναὸς νεόδμητος ἐπ' ὀνόματι τοῦ Ἁγίου ἐγήγερται, ἐν ᾧ καὶ ἡ τιμία αὐτοῦ κάρα, ἡ ἐκ τῆς σεβασμίας μονῆς τῆς Θεοτόκου Χρυσορροϊατίσσης ἄρτι μετακομισθεῖσα, τεθησαύρισται.

Τῇ αὐτῇ ἡμέρα, Μνήμη τοῦ ὁσιομάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ.

Στίχοι

Ἥκεις πρὸς αὐτὸν τὸν Θεόν, θεὸς θέσει,
Εἰς γῆν ἀφεὶς σου τὴν κόνιν, Κόνων πάτερ.

Πέμπτῃ καρτερόφρων ψυχὴν ὁ Κόνων ἀφέηκεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ μάρτυρος Κόνωνος τοῦ κηπουροῦ.

Στίχοι

Ἥλων τύπους φέροντι Κυρίῳ Κόνων,
Ἥλων τύπους πρόσεισιν εἰς πόδας φέρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ μάρτυρος Εὐλογίου τοῦ ἐν Παλαιστίνῃ.

Στίχοι

Τὸν Εὐλόγιον εὐλογεῖ πᾶσα κτίσις,
Κτίστου χάριν σοῦ τὴν κάραν τετμημένου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ μάρτυρος Εὐλαμπίου.

Στίχοι

Τράχηλον Εὐλάμπιος ἐκτμηθεὶς ξίφει,
Τραχηλιῶσαν δυσσέβειαν αἰσχύνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ μάρτυς Ἀρχέλαος καὶ οἱ σὺν αὐτῷ ἑκατὸν πεντήκοντα δύο μάρτυρες, ξίφει τελειοῦνται.

Στίχοι

Θεὶς πρῶτος Ἀρχέλαος αὐχένα ξίφει,
Ἄρχει τομῆς σοι, λαὲ θεῖε Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντίας τῆς Κύπρου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου Μάρκου μοναχοῦ.

Στίχοι

Σιγᾷς ὦ Μάρκε τῷ τεθνηκότων νόμῳ,
Ἀλλ' οὐ σιγῇ δώσω σε καὶ τεθνηκότα.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἐκ Βουλγαρίας νεομάρτυς Ἰωάννης, ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει αψπδ΄ (1784), ξίφει τελειοῦται.

Στίχοι

Σταυρὸν τί τυποῖς, ὦ Ἰωάννη μάκαρ,
Ὅτι μαθητὴς εἰμί, φησι, Κυρίου.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄

Σὲ νοητήν.

Τὸν ταπεινόν, ἀσκητὴν Ἀκάμαντος, ὑμνολογοῦμεν ἀκλινῶς· ὡς προσήκει γὰρ τοῖς πιστοῖς, ἀπεφάνθη ἄκακος, πρᾶος καὶ ἡσύχιος, ἐξ ἔργων νόμου ὁ πάνσοφος, καὶ αἰνετὸς ἐν ὁσίοις, Θεοῦ τοῦ Παντοκράτορος.

Ἰδεῖν ποθῶν, κάλλος μορφῆς τὸ ἀμήχανον, τοῦ Θεανθρώπου Ἰησοῦ, ἐν λαμπραῖς σκηναῖς οὐρανοῦ, πᾶσαν ἐγκατέλειπε, πρόσκαιρον ἡδύτητα, καὶ βίου ἄνεσιν ὁ ἔνθεος, Κόνων ἡ δόξα ὁσίων, καὶ μονοτρόπων εὔκλεια.

Ἐν ταῖς αὐλαῖς, τῶν οὐρανῶν ἀγαλλόμενος, καὶ συγχορεύων στρατιαῖς, τῶν ἀγγέλων Κόνων σεπτέ, ὑπερεύχου πάντοτε, τῶν μακαριζόντων σε, καὶ

δοξαζόντων ἐν ᾄσμασι, τὸν ἐνισχύσαντα πάτερ, καλῶς τελέσαι βίον σου.

Θεοτοκίον

Γῆ ἀγαθή, εὐλογημένη Παντάνασσα, Θεοῦ βλαστήσασα Υἱόν, καὶ Σωτῆρα ὑπερφυῶς, χοϊκῶν συστήματος, σωτηρίας πρόξενος, ἡμῶν ἐγένου τῶν ὕμνοις σε, μελισταγέσι τιμώντων, Θεογεννῆτορ Παντάνασσα.

ᾨδὴ η΄

Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Καύχημα πατέρων θεαυγῶν, διήνυσας σὸν βίον, ἀμέμπτως καὶ θεαρέστως, καὶ εἰς δόμους οὐρανοῦ, παμφώτους κατήντησας· εὐλογῶν τὸν Δεσπότην, ἁπάσης οἰκουμένης, καὶ Σωτῆρα κόσμου, ἀπαύστως εἰς αἰῶνας.

Ὥσπερ φοῖνιξ Κόνων ἀρεταῖς, κατάκομος ἡδίστους, ἐξήνθησας θεοφόρε, ἐν καρδίᾳ σου καρπούς· διό σε γεραίροντες, εὐχαρίστως βοῶμεν· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, τὰ ἔργα εἰς αἰῶνας.

Μέμνησο ἡμῶν τῶν εὐλαβῶς, τιμώντων σου τὴν μνήμην, τὴν πάνσεπτον μάκαρ Κόνων, καὶ βοώντων τῷ Θεῷ, τῷ σὲ χαριτώσαντι· εἴη εὐλογημένον, τὸ ὄνομά σου Σῶτερ, καὶ δεδοξασμένον, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ἵλεων ἡμῖν τὸν σὸν Υἱόν, ἀπέργασαι Παρθένε, ἀεὶ μεγαλύνουσί σε, καὶ βοῶσιν ἐκτενῶς, Παρθένε θεόνυμφε· εὐλογεῖτε τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄

Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ὄμβρισον ἡμῖν τιμῶσί σου, τὴν πολιτείαν, Κόνων, ὄντως ἰσάγγελον, ταχὺ ὑετὸν χρηστοηθείας καὶ νήψεως, καὶ σοφίας, ἀζύγων διάκοσμε· ἵνα σὴν θείαν μνήμην, ᾠδαῖς εὐτάκτοις ἑορτάζωμεν.

Νίκης στέφος χρυσοστόλιστον, παρὰ Χριστοῦ ἐδέξω, Κόνων θεσπέσιε, ἀγήρω ζωῆς καὶ ἀϊδίου τερπνότητος, Ὧπερ πᾶσαν ψυχῆς σου τὴν ἔφεσιν, τῆς ἀληθῶς ἐνθέου, ἐν τῷ σῷ βίῳ ἀφιέρωσας.

Χάριτος σεπτὸν γενόμενος, δοχεῖον, πάτερ Κόνων, φάρε Ἀκάμαντος, φωτίζεις ἡμῶν τὴν σκοτομήνην τῶν θλίψεων, τῶν σπευδόντων τῇ θείᾳ σου χάριτι, καὶ σὲ μεγαλυνόντων, ὡς τοῦ Κυρίου φίλον γνήσιον.

Θεοτοκίον

Μῆτερ τοῦ Θεοῦ πανύμνητε, ὁδὸν ὑπόδειξόν μοι πρὸς ἀφθαρτότητα, ἀπάγουσαν, ἵνα ἀπολαύσω τοῦ Τόκου σου, τοῦ προσώπου σὺν σοὶ τὸ ἀμήχανον, εὐλογημένη, κάλλος, ἐν ταῖς σκηναῖς τῆς ἄνω πόλεως.

Ἐξαποστειλάριον

Γυναῖκες ἀκουτίσθητε.

Συντόνου σου ἀσκήσεως, πυρσεύμασιν Ἀκάμαντα, ὅνπερ ἐπόλισας Κόνων, καὶ χάριτός σου ἀκτῖσιν, ἐφώτισας τρισόλβιε· διόπερ νῦν τὴν μνήμην σου, τὴν ἱερὰν καὶ πάμφωτον, πανηγυρίζοντες ὕμνοις, σὲ καταστέφομεν πόθῳ.

Θεοτοκίον

Σὲ πάντες μακαρίζομεν, ἁγνὴ Θεογεννήτρια, ὅτι Τριάδος τὸν ἕνα, ἐκυοφόρησας ξένως, καὶ σαῖς χερσὶν ἐβάστασας, Θεοῦ τὸν ὑπερούσιον, Λόγον Παρθένε πάναγνε, ἀτρέπτως, ἀναλλοιώτως, ἀφράστως καὶ ἀπορρήτως.

Εἰς τοὺς Α ἴ ν ο υ ς

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος πλ. δ΄ Ὢ τοῦ παραδόξου θαύματος!

Κόνων μονοτρόπων καύχημα, πυξὶς σεπτῶν ἀρετῶν, ταπεινώσεως ἄγαλμα, ἀκτησίας μέλαθρον, καὶ νηστείας ἀνάκτορον, ὁ λεπτῇ αὔρᾳ, τοῦ θείου Πνεύματος, ψυχὴν δροσίσας, καὶ τὰ πυργώματα, πάντα τοῦ δράκοντος, καταρράξας ὅσιε σῇ θαυμαστῇ, ἀγωγῇ τεθέωσαι, πανιερώτατε.

Κόνων ἀσκητὰ Ἀκάμαντος, ἐρημιτῶν θεαυγῶν, αὖχος πολυτιμότατον, σωφροσύνης ἔμψυχος, στήλη καὶ ἀγαθότητος, εὔηχος σάλπιγξ, ἐδείχθης ὅσιε· διό σε πάντες, νῦν μακαρίζοντες, ἀνευφημοῦμέν σου, τὴν τιμίαν ἄσκησιν ἐγκρατευτά, καὶ τὰ σὰ παλαίσματα, πρὸς βίον κρείττονα.

Κόνων ὅρπηξ ὡραιότατε, τῆς Ἐκκλησίας Χριστοῦ, νήσου Κύπρου ἀγλάϊσμα, καὶ τῆς Πάφου σέμνωμα, σκέπε τοὺς καταφεύγοντας, τῇ σῇ δοθείσῃ, πλουσίως χάριτι, καὶ ἐξαιρέτως, τοὺς ἑορτάζοντας,

μνήμην τὴν θείαν σου, καὶ φωσφόρον ᾄσμασι καὶ μελιχραῖς, ὑμνῳδίαις πάντοτε, θεοφορούμενε.

Κόνων ἱερὲ κτησάμενος, νοῦν ἡγεμόνα σαρκός, τὰς κινήσεις κατέστειλας, καὶ σοφῶς ὑπέταξας, ἅπαν χεῖρον τῷ κρείττονι· διό σοι πόθῳ, ἡμεῖς κραυγάζομεν· χαῖρε Τριάδος, τὸ καταγώγιον, χαῖρε φανότατε, λύχνε διακρίσεως, χαῖρε λαμπάς, ἀρετῶν πολύφωτε, καὶ στήλη χάριτος.

Δόξα... Ἦχος πλ. α΄

Τὸν τοῦ Προδρόμου ἑπόμενον τῇ ἐν ἐρήμῳ ἀσκήσει, Κόνωνα τὸν θεοείκελον ἐγκωμίοις οἱ πιστοὶ καταστέψωμεν· οὗτος γὰρ ἐν Ἀκάμαντι ὁσίως πολιτευσάμενος, καὶ ὡς ὄρνις φιλέρημος τὴν ἀγήρω ζωὴν κελαδήσας, ἐν τῇ ὥρᾳ τῆς αὐτοῦ ἀναλύσεως τέλειος εὑρέθη ἐνώπιον Κυρίου· καὶ νῦν σὺν φωτομόρφοις ἀγγέλοις ἐν ἀστραποβόλῳ πόλῳ χορεύων, Χριστῷ τῷ φωτοδότῃ ἀδιαλείπτως πρεσβεύει ὑπὲρ ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις

## ΕΝ Τῌ͂ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ ς΄ ᾠδή.

Ὁ Ἀπόστολος

Προκείμενον, Ἦχος βαρὺς (Ψαλμ. ριε΄)

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

(Κεφ. ε΄ 22-ς΄ 2)

(Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ ἑβδομάδος)

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους, προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα (γ΄), Ἦχος πλ. β΄ (Ψαλμ. ρια΄)

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Λουκᾶν**

(Κεφ. ιβ΄ 32-40)

(Ζήτει τῷ Σαββάτῳ τῆς ΙΑ΄ ἑβδομάδος Λουκᾶ)

Εἶπεν ὁ Κύριος· Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν...

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

Μεγαλυνάριον

Χαίροις τῶν ἀρρεύστων ὁ ζηλωτής, καὶ ὁ ὑπερόπτης, τῶν ματαίων τε καὶ ῥευστῶν, Κόνων θεοφόρε, ὁ ῥείθροις ἁγιάσας, ἱδρώτων σου τιμίων, Κύπρου Ἀκάμαντα.

Τετράστιχον

Χαρᾶς οὐρανῶν, ἧς ἀπολαύεις, Κόνων,
Κἀμὲ ἀξίωσον, βοᾷ Χαραλάμπης.

Ἀκάμαντος γέρας, Κόνων, Γεώργιον,
Ἐπίσκοπον σκέπε, βοᾷ Χαραλάμπης.

## ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

### 1. Πηγαὶ

#### α) Χειρόγραφος παράδοσις

1. Ἀκολουθία τοῦ ἁγίου ὁσιομάρτυρος Κόνωνος τοῦ θαυματουργοῦ. Ἐγράφη ὑπὸ τοῦ αἰδεσιμωτάτου παπᾶ Κυριάκου Μιχαήλ, ἐφημερίου ἁγίου Μηνᾶ Νέου Χωρίου Πάφου τῇ 7ῃ Μαρτίου 1974.

2. Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Κόνωνος τοῦ ἐν Ἀκάμαντι. Ποιηθεῖσα ὑπὸ τοῦ αἰδ. Οἰκονόμου Κυριάκου Μιχαήλ, Νέον Χωρίον Πάφου τῇ 18ῃ Σεπτεμβρίου 1992.

3. Ἱερομονάχου Ἀθανασίου Σιμωνοπετρίτου, Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, Ἀπολυτίκιον, Κοντάκιον καὶ Μεγαλυνάριον εἰς ὅσιον Κόνωνα τὸν ἐν Ἀκάμαντι, συνταχθέντα κατόπιν αἰτήσεως Παπασταύρου Παπαγαθαγγέλου, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους τὴν 11ην Σεπτεμβρίου 1993, Ἐν Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, ε´ ἔκδοση, Λευκωσία 1998, σ. 316.

#### β) Ἔντυποι ἐκδόσεις

1. Βιβλίον τοῦ Μαρτίου μηνὸς περιέχον τὴν πρέπουσαν αὐτῷ ἅπασαν ἀκολουθίαν. Τυπωθὲν παρὰ Ἀντωνίῳ τῷ Πινέλλῳ. Καὶ παρὰ Θεοφάνους Ἱερομονάχου τοῦ Ξενακίου ἐπιμελῶς διορθωθέν. Ἐνετίησιν. Ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ,αχθ´. σσ. α´ vI - β´ II.

2. Μηναῖον τοῦ Μαρτίου, διορθωθὲν ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ, ἔκδοσις δευτέρα. Ἐν Βενετίᾳ. Ἐκ τοῦ Ἑλληνικοῦ Τυπογραφείου τοῦ Ἁγίου Γεωργίου, 1862, σσ. 17-21.

3. Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Β´, Ἀθήνησι 1868, σσ. 12-15.

4. Κωνσταντίνου Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Μάρτιος, Ἐν Ἀθήναις 1891, σσ. 51-89.

5. H. Delehaye, Synaxarium Ecclessia Constantinopolitana e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembris, Βρυξέλλαι 1902, σσ. 513-516.

6. Μηναῖον τοῦ Μαρτίου (ἔκδ. Π. Παρασκευόπουλος), Ἐν Ἀθήναις 1904, σσ. 16-19.

7. Μηναῖον τοῦ Μαρτίου (ἐπιστασίᾳ Γεωργίου Γεγλέ, ἐκδ. Μιχαὴλ Σαλίβερος) Ἀμαρούσιον ἄ.ἔ. σσ. 20-25.

8. Μηναῖον τοῦ Μαρτίου (ἔκδ. «Τὸ Φῶς»), Ἐν Ἀθήναις 1961, σσ. 31-37.

9. J. Mateos, Le Typicon de la Grande Église, tom I, Ῥώμη 1962, σσ. 242-243.

10. Ὡρολόγιον τὸ Μέγα (ἐκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1986, σ. 324.

11. Μηναῖον τοῦ Μαρτίου (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1988, σσ. 18-21.

12. Μέγας καὶ ἱερὸς Συνέκδημος Ὀρθοδόξου Χριστιανοῦ (ἔκδ. «Ἀστήρ»), Ἀθῆναι 1989, σ. 711.

13. Macaire hieromoine de Simonos Petras, Le Synaxaire, Vies des Saints de l' Église Orthodoxe, tom. troisième, Fevrier, Mars, Avril (1 au 15), Θεσσαλονίκη 1996, σσ. 295-305.

14. Hieromonk Makarios of Simonos Petra, *The Synaxarion The Lives of the Saints of the Orthodox Church* (Translated from the French by Mother Maria (Rule) and Mother Joanna (Burton) vol. four. March, April, Ormylia (Chalkidike), 2003, σσ.46-58.

15. Θεοφιλεστάτου Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, Ὁ Ἅγιος ὁσιομάρτυς Κόνων, Ἐν Παφιακῇ Ἐκκλησία, Πτυχὲς ἀπὸ τὴν ἱστορία καὶ τὸ ἁγιολόγιό της, Πάφος 2003, σσ. 62-65.

16. Ἱερομονάχου Μακαρίου Σιμωνοπετρίτου. Νέος Συναξαριστὴς τῆς Ὀρθοδόξου Εκκλησίας (Διασκευὴ ἐκ τοῦ Γαλλικοῦ ὑπὸ Σωτήρη Γουνέλλα), τόμ. ἕβδομος, Μάρτιος, Ἀθῆναι 2006, σσ. 54-70.

17. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σσ. 153-154, 697.

#### γ) Ἡ παροῦσα ἔκδοσις

Ὁ ἀρχιμανδρίτης Κυπριανὸς εἰς τὴν Ἱστορίαν χρονολογικὴν τῆς νήσου Κύπρου, Ἐνετίησιν 1788, εἰς τὸ κεφ. Περὶ τιμίων ξύλων, ἁγίων λειψάνων καὶ θαυματουργῶν τῆς Παναγίας Εἰκόνων, σημειώνει εἰς σ. 360: Εἰς τὴν Πάφον εὑρίσκεται τὸ Κρανίον τοῦ ἁγίου Κώνονος.

Ὁ Ἰωάννης Τσικνόπουλλος εἰς τὸ ἔργον αὐτοῦ Παναγία ἡ Χρυσορρωγιάτισσα, Λευκωσία 1964, 1965, σσ. 27, 106-108, 154, 155 ἀναφέρει τὸ ἱερὸν κρανίον τοῦ ἁγίου Κόνωνος καὶ ἱερὰ λείψανα αὐτοῦ εἰς λειψανοθήκας τῆς Μονῆς. Ὁ ἴδιος εἰς τὸ ἔργον αὐτοῦ Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971 σσ. 191-192, 310 σημειώνει χωρὶς τεκμηρίωσιν, ὅτι τὸ πτωχεῖον αὐτοῦ ἐλειτούργει ἐν Πάφῳ.

Τὸ 1997 εἰς τὴν β´ ἔκδοσιν τοῦ ἔργου τοῦ Ἀρχιεπισκόπου Μακαρίου Γ´, Κύπρος, ἡ ἁγία νῆσος πίν. 31 ὑπάρχει εἰκὼν ἐκ τοῦ ναοῦ Ἀρχαγγέλου Μιχαὴλ Ἀνώγυρας, ΙΗ´ αἰῶνος μὲ ἐπιγραφήν: Ὁ ἅγιος Κόνων τοῦ (sic) ἐν ἀσκήσει λάμψαντος ἐν ὄρει Ἀκάμαντος.

Τὸ 2003 εἰς τὰς *«Κυπριακὰς Σπουδὰς»* 64-65 (2000-2001), σσ. 149-155, ὁ δρ. Γεώργιος Κ. Χριστοδούλου ἐδημοσίευσεν ἄρθρον "Σχόλια εἰς τὸ περὶ Κύπρου ἐδάφιον τοῦ Προκοπίου *Περὶ κτισμάτων*", ἔνθα ἀπέδειξεν ὅτι τὸ πτωχεῖον τοῦ ἁγίου Κόνωνος συνδέεται μετὰ τῆς Κιλικίας καὶ οὐχὶ μετὰ τῆς Κύπρου, καθὼς καὶ ὅτι τὸν ναὸν τῶν ἁγίων Κοσμᾶ καὶ Δαμια-

νοῦ ἀνήγειρεν ὁ Ἰουστινιανὸς ἐν Κύρῳ τῆς Ἰσαυρίας. Ἡ σύγχυσις δὲ τοῦ ὀνόματος ἐν Κύρῳ εἰς ἐν Κύπρῳ ὀφείλεται εἰς λάθος τῶν ἀντιγραφέων.

Εἰς τὸ Προσκυνητάριον τοῦ Ἁγίου Κόνωνος εἰς τὴν Μονὴν Παναγίας Χρυσορροϊατίσσης, ὅπως ἀναφέρει ὁ Ἰωάννης Τσικνόπουλλος εἰς τὸ ἔργον αὐτοῦ Ἱστορία τῆς Ἐκκλησίας Πάφου σ. 310, ὁ Ἅγιος Κόνων εἰκονίζεται ὡς μοναχός. Ἐπίσης ἡ ὕπαρξις λειψάνων τοῦ Ἁγίου Κόνωνος εἰς Ἱερὰς Μονὰς καὶ ναοὺς ὑπεμφαίνει ὅτι αὐτὰ μετεφέρθησαν ἐκεῖ ἐκ τοῦ ἀσκητηρίου τοῦ Ἁγίου Κόνωνος ἐν Ἀκάμαντι.

Τὸ ἀτεκμηρίωτον τῆς ἀπόψεως ὅτι ἡ κάρα τοῦ ἱερομάρτυρος Κόνωνος ἐν Ἰσαυρίᾳ μετεφέρθη ἐν Κύπρῳ κατὰ τὴν ἐποχὴν τῆς Εἰκονομαχίας, ἐπιμαρτυρεῖ καὶ ἡ πληροφορία ὅτι ἡ κάρα τοῦ ὁσιομάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ μετεφέρθη πρό 40-50 ἐτῶν ἀπὸ τὴν Μυτιλήνην εἰς τὴν Σκήτην Προβάτας Ἁγίου Ὄρους, προφανῶς ἐκ τῆς Μ. Ἀσίας, μετὰ τὴν ἐκεῖσε καταστροφήν.

Ὁ Πανιερώτατος Μητροπολίτης Πάφου κ. Γεώργιος ἀνέθεσεν εἰς τὸν ὑμνογράφον κ. Χαράλαμπον Μ. Μπούσιαν τὴν σύνθεσιν ἀκολουθίας τοῦ ὁσίου Κόνωνος ἐν Ἀκάμαντι τὸ 2003 καὶ τὴν σύνταξιν νέου Συναξαρίου τοῦ ὁσίου εἰς τὰ μέλη τοῦ Γραφείου ἐκδόσεως ἀκολουθιῶν, τὸ ὁποῖον δημοσιεύεται εἰς τὴν παροῦσαν ἔκδοσιν.

### δ) Βίοι - Συναξάρια

1. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ Χαιρετισμῶν, Κύπρος 1952, σσ. 11, 31.

2. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. α΄ Λευκωσία 1972, σ. 20, ἔκδ. β΄ Κύπρος 1988, σ. 130 (ἔνθα, ἀντὶ Κονώνης νὰ γραφῇ Κόνωνος), ἔκδ. γ΄ Κύπρος 2003, σσ. 57, 73).

3. Παπασταύρου Παπαγαθαγγέλου, Ὁ ὅσιος Κόνων, Ἐν Μορφὲς πού ἅγιασαν τὴν Κύπρο, ε΄ ἔκδοση Λευκωσία 1998, σσ. 314-316.

## 2. Βοηθήματα

### α) Μελέται

1. B. G. Niebuhrii, Procopius, Pars II, volumen III, Corpus Scriptorum Historiae Byzantinae, Bonnae 1838, σσ. 328-329.

2. G. Henschenius et D. Paperbrochius, "De S. Conone martyre Bidanae in Isauria" *Acta Sanctorum* Martii tomus primus, Parisiis et Romae 1865, σ. 358.

3. G. Henschenius D. et D. Paperbrochius, "De S. Conone hortulano martyre in Pamphylia" *Acta Sanctorum* Martii, tomus primus, Parisiis et Romae 1865, σσ. 360-361.

4. Ἀ. Παπαδοπούλου - Κεραμέως, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας, τόμος Ε΄, Πετρούπολις 1898, σσ. 384-388: Μηνὶ Ἰουλίῳ Β΄ Μαρτύριον τοῦ ἁγίου Κόνωνος (cod. 79, S.X, Monasterii Βατοπεδίου), σσ. 388-389: Ἕτερον μαρτύριον τοῦ ἁγίου Κόνωνος.

5. Μανουὴλ Ἰ. Γεδεών, Βυζαντινὸν Ἑορτολόγιον, Ἐν Κωνσταντινουπόλει 1899, σ. 80.

6. H. Delehaye, *Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmodiano , Prorylaeum ad Acta Sanctorum Novembris,* Βρυξέλλαι 1902, σσ. 511-512: Μαρτίου 5, Μάρτυρος Κόνωνος τοῦ κηπουροῦ, σσ. 513-516: Μαρτίου 6, Ἄθλησις μάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ.

7. Μιχαὴλ Ἰ. Γαλανοῦ, Οἱ βίοι τῶν ἁγίων τοῦ Μηνολογίου τῆς Ὀρθοδόξου Ἐκκλησίας. Μὴν Μάρτιος, ἔκδ. α΄ 1906, ἔκδ. β΄ 1951, ἔκδ. γ΄ 1988, σσ. 26-27: Μαρτίου 5 Μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ, σσ. 27-28: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Κόνωνος τοῦ κηπουροῦ.

8. Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ἐγκώμιον εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοσεβίου τοῦ Ἀρσινοΐτου, ἐν "Saints de Chypre", *Analecta Bollandiana* 26 (1907), σσ. 185-186: Κόνων μάρτυς.

9. H Delehaye, "Saints de Chypre", *Analecta Bollandiana* 26 (1907), σσ. 261, 267.

10. Basilius Latyšev, Menologii anonymi byzantini, Fasciculus prior Februarium et Martium menses continens, Petropoli 1911, σσ. 203-208: Βίος καὶ μαρτύριον τοῦ ὁσίου πατρὸς ἡμῶν Κόνωνος τοῦ Ἰσαύρου.

11. Διακόνου Δημ. Καλλιμάχου, "Πατμιακῆς Βιβλιοθήκης συμπλήρωμα, Κῶδιξ μεμβράν. αἰῶνος ΙΔ΄, φφ. 36α-49α, ἀριθμ. ψλς΄. Μηνὶ τῷ αὐτῷ Ε΄: Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ἁγίου μάρτυρος καὶ θαυματουργοῦ Κόνωνος", *Ἐκκλησιαστικὸς Φάρος,* τόμος δέκατος, ἔτος Ε΄, 1912, σ. 247[5] ἀρχ. Τριττοὺς ἡμῖν Κόνωνας οἶδεν ὁ λόγος...

12. Χαριλάου Ἰ. Παπαϊωάννου, Τὸ 2215$^{E}$ χειρόγραφον τῆς Καινῆς Διαθήκης, τὸ ἐν τῇ Μητροπόλει Κιτίου τῆς Κύπρου, Ἐν Ἀθήναις 1923, Γ΄. Τὸ Συναξάριον σ. 108 Μήν. Μάρτιος Ε΄: Τοῦ ἁγ. Κόνωνος· ζήτ. δ΄ τῆς γ΄ ἑβδ. τοῦ Ματθ. [Ἰω. ς΄ 35-39. Εὐ:...].

13. Ἀρχιμ. Ἱππολύτου (Μιχαηλίδου), "Ἀνεκδότων ἔκδοσις: Μαρτύριον τοῦ ἁγίου Κόνωνος τοῦ ἐκ Ναζαρέτ, ἐκ τοῦ χειρογράφου ὑπ' ἀριθμ. 6 κώδικος τῆς Ἱεροσολυμιτικῆς Πατριαρχικῆς Βιβλιοθήκης (θ΄-ι΄ αἰῶνος), φφ. 367-368: Μηνὶ τῷ αὐτῷ (Ἰουλίῳ γ) μαρτύριον τοῦ ἁγίου Κόνωνος", *Νέα Σιών,* τόμος 18, ἔτος 15ον, Ἐν Ἱεροσολύμοις 1923, σσ. 54-57.

14. Ἰωάννου Χάκκετт, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμλήρωσιν Χαριλάου Ἰ. Παπαϊωάννου, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 195-196.

15. Σωφρονίου Εὐστρατιάδου, πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, Ἀθῆναι 1935 (ἔκδοσις «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), (ἀνατύπ. 1995), σ. 256: Κόνων ὁσιομάρτυς ὁ ἐν Ἰσαυρίᾳ (Μαρτίου 5, Μαρτίου 6 Del), Κόνων ὁ κηπουρὸς (Μαρτίου 5).

16. F. Halkin, "Publications récents de textes hagiographiques Grecs, S. Conon l' Isaurien", *Analecta Bollandiana* 53 (1935), σσ. 369-374.

17. H. Delehaye, P. Peeters, M. Coëns, B. Gaiffier, P. Grosjean, Fr. Halkin, *Martyrologium Romanum, Propylaeum ad Acta Sanctorum Decembris,* Βρυξέλλαι 1940, σσ. 86-87: Martii 6 In Cypro Sancti Cononis martyris, qui sub Decio imperatore pedibus clavis confixis ante Currum iussus currere, in genua procumbens in oratione reddidit spiritum.

18. Ciro Giannelli, "Probabili frammenti di un menologio premetafrastico di Marzo e il corrispondente testo paleoslavo del "codex Suprasliensis", Memorial Louis Petit, *Archives de l' Orient Chrétien,* I, Institut Français d' Études Byzantines, Βουκουρέστι 1948, σσ. 95-112.

19. H. B. Dewing, with collaboration of Clanville Downey, Procopius, In seven Volumes, VII. Buildings, General Index to Procopius, Λονδῖνον 1954, σ. 360.

20. F. Halkin, Bibliotheca Hagiographica Graeca, τόμ. I, Βρυξέλλαι 1957, σσ. 120-121: Conon hortulanus m. in Pamphylia sub Decio. Jul. 2, 3, τόμ. III, Βρυξέλλαι 1957, σσ. 16-17: Conon m. in Isauria. Nov. 4; Mart. 5, 6, 8, Auctarium B. H. G., Βρυξέλλαι 1969, σ. 49: Conon m. in Pamphylia, Novum Auctarium B. H. G. Βρυξέλλαι 1984, σ. 52: Conon m. in Pamhylia.

21. Procopii Caesariensis Opera Ommia, recognovit Jacobus Haury, Vol. IV, Περὶ Κτισμάτων libri sive de aedificiis cum duobus indicibus praefatione excerptisque Photii adiectis. Editio stereotypa correctior. Addenda et corrigenda adiecit Gerhard Wirth, Λειψία 1964, σσ. 170-171.

22. H. Follieri, Initia Hymnorum Ecclesiae Graecae, vol. V pars altera, Citta del Vaticano 1966, σ. 192: Κόνων (Jul. 4), Κόνων ὁ ἐν Ἰσαυρίᾳ μ. (Mart. 5), Κόνων κηπουρὸς μ. (Mart.5).

23. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ. κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 30: Κόνων ἱερομάρτυς, Λευκωσία 1997, σσ. 35-36, πίν. 31. Ὁ Ἅγιος Κόνων ὁ ἐν τῷ Ἀκάμαντι. Εἰκόνα τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου Μιχαήλ, Ἀνώγυρα, 18ος αἰώνας.

24. Joseph Schiro, Analecta Hymnica Graeca, VII Canones Martii, Eutychius Tomadakis collegit et instruxit, Roma 1971, σσ. 70-78: Canon VIII In Sanctum Cononem, Ἰωσὴφ ὑμνογράφου, ἐπὶ τῇ βάσει *Paris gr. 1563, Paris gr. 341, Paris gr. 1574, Vat. gr.* 1510, σσ. 79-85, Canon IX In Sanctum Cononem, ἐπὶ τῇ βάσει Crypt. Δ. α. XXII, 364-365.

25. F. Halkin, "Vie de S. Conon d' Isaurie", *Analecta Bollandiana* 103 (1985), σσ. 5-34.

26. Ἱερᾶς Μονῆς Σταυροβουνίου, Ἀσματικὴ ἀκολουθία τῶν ἐν Κύπρῳ ἁγίων, Κύπρος 1988, σσ. 42, 64, 129.

27. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἁγίασαν τὴν Κύπρο, δ΄ ἔκδ., Λευκωσία 1988, σσ. 301-307: Ἅγιος Κόνων (5 Μαρτίου), ε΄ ἔκδ. ἐπαυξημένη καὶ βελτιωμένη, Λευκωσία 1998, σσ. 308-313: Ὁ ἅγιος ὁσιομάρτυς Κόνων, (5 Μαρτίου), πίν. σ. 560: Ὁ ὁσιομάρτυς Κόνων, σσ. 314-316: Ὁ ὅσιος Κόνων (5 Μαρτίου), Ἀπολυτίκιον, Κοντάκιον καὶ Μεγαλυνάριον, ὑπὸ τοῦ Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἱερομονάχου Ἀθανασίου Σιμωνοπετρίτου, πίν. σ. 561: Ὁ ἅγιος Κόνων ὁ ἐν τῷ Ἀκάμαντι. Εἰκόνα τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου Μιχαήλ, Ἀνώγυρα, 18ος αἰώνας.

28. Bernard Flusin, "Remarques sur la tradition manuscrite du De Aedificiis", *An. Tard,* 8, 2000, σσ. 9-17.

29. Γεωργίου Κ. Χριστοδούλου, "Σχόλια εἰς τὸ περὶ Κύπρου ἐδάφιον τοῦ Προκοπίου *Περὶ κτισμάτων*", *Κυπριακαὶ Σπουδαὶ* 64-65 (2000-2001), σσ. 149-155.

**β) Ναογραφία**

1. Σεραφεὶμ Πισσιδίου, Περιγραφὴ τῆς Ἱερᾶς σεβασμίας καὶ βασιλικῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τοῦ Κύκκου, Ἐνετίησιν 1782, σ. 25: «Ἦσαν δὲ τότε εἰς τὰ Ὄρη τῆς Κύπρου, καὶ εἰς τὸν Ἀκάμαν τὸν περιβόητον μάλιστα, πλήθη Μοναχῶν ἀναχωρητῶν...».

2. Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἐνετίησιν 1788, Λευκωσία 1971 (ἀνατύπωσις ἐκδ. 1788), σ. 360: Εἰς τὴν Πάφον εὑρίσκεται τὸ Κρανίον τοῦ ἁγίου Κώνονος (sic).

3. Carolus de Boor, Theophanis Chronographia, vol. I, Λειψία 1883, σ. 184: (Μοναχοὶ τοῦ ἁγίου Κόνωνος).

4. D. Hogarth, *Devia Cypria,* Λονδῖνον 1889, σσ. 13-14: Εἰς Ἀκάμαν θεμέλια μικροῦ ναοῦ 14x7 πόδια. Σπήλαιον τεχνητὸν λαξευτόν, μὲ τὴν ὀροφὴν στηριγμένην εἰς τὸ μέσον αὐτῆς.

5. Σίμου Μενάρδου, " Τοπωνυμικὸν τῆς Κύπρου", *Ἀθηνᾶ* 18 (1905), Σ. Μενάρδου, Τοπωνυμικαὶ καὶ λαογραφικαὶ μελέται, Λευκωσία 1970, σ. 33: Νιὸχ χωρκὸν Χρυσοχοῦς, 47, 80, 83: Λέμπα.

6. Cl. Cobham, "The Churches and Saints of Cyprus", Λονδῖνον 1910, σσ. 26, 36.

7. Ἀ. Θ. Σαμοθράκη, "Κόνωνος ναός. Ναὸς τῶν Βυζαντινῶν χρόνων ἔξω τῆς Κωνσταντινουπόλεως, κτισθεὶς ἐπ' ὀνόματι τοῦ ἁγίου Κόνωνος τοῦ κηπουροῦ ἐκ Ναζαρέτ", *Μεγάλη Ἑλληνικὴ Ἐγκυκλοπαιδεία,* 14, σ. 843.

8. R. Gunnis, *Historic Cyprus,* (α΄ ἔκδ. Λονδῖνον 1936, β΄ ἔκδ. Λονδῖνον 1947), σ. 382.

9. Sir G. Hill, *A History of Cyprus,* vol. I, Καΐμπριτζ 1940, σσ. 279-282.

10. Ν. Κυριαζῆ, "Ἅγιοι ἐν Κύπρῳ καὶ οἱ ναοί των", *Ἀγάπη,* ἔτος Γ΄, τεῦχος 17, 1946, σ. 22.

11. R. Janin, La géographie ecclésiastique, de l' empire Byzantin, tom. III, Les Églises et les monastères, Παρίσι 1969, σσ. 293-294: Κόνωνος (Μονὴ τοῦ ἁγ.).

12. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 159-160, 161, 191-192, 208.

13. Κ. Α. Πιλαβάκη, "Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ" *Κυπριακαὶ Σπουδαὶ* 38-39 (1974-1975), Παράρτημα σ. 77: Δρούσια, Ἀκόνια.

14. Κ. Α. Πιλαβάκη, "Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ" *Κυπριακαὶ Σπουδαὶ* 40(1976), Παράρτημα σσ. 101: Κισσόνεργα, Ἁγία Κονώνα, 118: Λᾶσα, 120: Λέμπα, 152: Νέον Χωρίον Πάφου, Ἅης Κάνονας, Ἅγιος Κόνων.

15. M. Christodoulou, *A concise Gazetteer of Cyprus,* Λευκωσία 1982, σσ. 12: Ἀκάμας, 31: Κισσόνεργα, 43: Νέον Χωρίον, Πάφος.

16. M. Christodoulou, *A Complete Gazetteer of Cyprus,* vol. I, Λευκωσία 1987, σσ. 47: Ἅγιος Κόνων, Ἅγιος Κόνωνας, 73: Ἀκάμας, 889: Νέον Χωρίον Πάφου 1554-1556: Νέον Χωρίον Πάφου (τοπωνύμια).

17. Ἀθανασίου Παπαγεωργίου, "Κόνωνος Ἁγίου ἐκκλησίες", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 7 (1987), σ. 218.

18. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἁγίασαν τὴν Κύπρο, δ΄ ἔκδ. Λευκωσία 1988, σσ. 306-307, ε΄ ἔκδ. Λευκωσία 1998, σσ. 312-313, 314-316, 561.

19. Γ. Τζιώρτζιου, "Τὰ μυστήρια τοῦ Ἀκάμα καὶ οἱ ἐκκλησίες του", Ἐφημ. *Σημερινή,* 17 Σεπτεμβρίου 1989,

20. "Μὲ χρηματοδότηση τοῦ Ἱδρύματος Κάρλσπερκ Δανοὶ ἀρχαιολόγοι ἀρχίζουν ἀνασκαφὲς στὸν Ἅγιο Κόνωνα", Ἐφημ. *Σημερινή,* 12 Ὀκτωβρίου 1989.

21. Ἀνδρέα Κυριακοῦ, "Ὁ Ἀκάμας καὶ ἡ Ὀρθόδοξη Παράδοση", *Ὀρθόδοξη Μαρτυρία,* ἀρ. 29, Σεπτέμβριος - Δεκέμβριος 1989, σσ. 64-66.

22. C. Foss, "Korykos", The Oxford Dictionary of Byzantium 2, 1991, σ. 1150.

23. Ole Thomsen, "Written sources, Akamas – the region with the hundred and one Churches. Saint Konon", *Ancient Akamas* I, Aarchus University Press, 1995, σσ. 29-31.

24. Jane Fejfer and Hans Erik Mathiesen, "The site of Ayios Kononas", *Ancient Akamas* I, Aarchus University Press, 1995, σσ. 73-86.

25. Θεοφιλεστάτου Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, Ὁ Ἅγιος ὁσιομάρτυς Κόνων, Ἐν Παφιακὴ Ἐκκλησία, Πτυχὲς ἀπὸ τὴν ἱστορία καὶ τὸ ἁγιολόγιό της, Πάφος 2003, σ. 65.

26. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σσ. 487: Κισσόνεργα, 492: Χούλου, 495: Δρούσια, 497: Νέον Χωρίον Πάφου.

**γ) Εἰκονογραφία**

1. Ἰωάννου Π. Τσικνοπούλλου, Παναγία ἡ Χρυσορρωγιάτισσα, Ἱστορικὴ ἐν Κύπρῳ Ἱερὰ Μονή, Λευκωσία 1964 καὶ 1965, σσ. 106-108: Εἰς τὸ ἄνω τμῆμα τοῦ Προσκυνηταρίου τοῦ ἁγίου Κόνωνος εἰκὼν τοῦ Ἁγίου (0,82x0,35), εἰκονίζεται ὡς ὅσιος φέρων σταυρὸν καὶ εἰλητάριον μετὰ τῆς ἐπιγραφῆς «Ἰησοῦ μνήμη φωτίζει τὸν νοῦν καὶ ἐκδιώκει δαίμονας. Κόρος κοιλίας πορνίας πατήρ».

2. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 296: Ὁ Ἅγιος Κόνων, ἔτους ,αψπβ', σ. 310: φωτογραφία Ἁγίου Κόνωνος εἰκὼν καὶ τὸ ἱερὸν κρανίον, σ. 192: Εἰς τὸν ναὸν τοῦ ἁγίου Κόνωνος εἰς τὸν Ἀκάμαντα ὑπάρχουν δύο εἰκόνες τοῦ Ἁγίου, (0,51x0,35 καὶ 0,51x40), σ. 282: Εἰκὼν ἁγίου Κόνωνος εἰς Λάσσα.

3. Εἰς τὴν ὑπὸ τῆς Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου β' ἔκδοσιν τῆς μελέτης τοῦ Ἀρχιεπισκόπου Μακαρίου Γ' «Κύπρος, ἡ ἁγία νῆσος», Λευκωσία 1997, δημοσιεύεται εἰς πίνακα ὑπ' ἀριθμ. 31, εἰκόνα τοῦ ἁγίου Κόνωνος τῶν μέσων τοῦ 18ου αἰῶνος, εὑρισκομένη εἰς τὸν ἱ. ν. Ἀρχαγγέλου Μιχαὴλ εἰς τὸ χωρίον Ἀνώγυρα. Ὁ Ἅγιος Κόνων εἰκονίζεται ὡς μοναχὸς φέρων εἰλητάριον μετὰ τῆς ἐπιγραφῆς: «Ὅλος τοῦ κόσμου μοναχὲ ἐμακρύνθης· βλέπε δὲ πάλιν μὴν στρέψης εἰς τὰ ὀπίσω». Δεξιὰ καὶ ἀριστερὰ τοῦ φωτοστεφάνου ὅστις περιβάλλει τόν Ἅγιον, ὑπάρχει ἡ ἀκόλουθος ἐπιγραφή: Ὁ Ἅγιος Κόνων τοῦ (sic) ἐν ἀσκήσει λάμψαντος ἐν ὄρει Ἀκάμαντος.

4. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς πού ἅγιασαν τήν Κύπρο, ε' ἔκδοση Λευκωσία 1998 σ, 560: Ὁ ὁσιομάρτυς Κόνων, σ. 561: Ὁ ἅγιος Κόνων ὁ ἐν τῷ Ἀκάμαντι. Εἰκόνα τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου Μιχαήλ, Ἀνώγυρα 18ος αἰώνας.

5. Θεοφιλεστάτου Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, Ὁ Ἅγιος ὁσιομάρτυς Κόνων, Ἐν Παφιακὴ Ἐκκλησία, Πτυχὲς ἀπὸ τὴν ἱστορία καὶ τὸ ἁγιολόγιό της, Πάφος 2003, σ. 62.

6. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σσ. 485: Ἀνώγυρα, Ἱερὸς Ναὸς Ἀρχαγγέλου Μιχαὴλ (εἰκὼν Ἁγίου Κόνωνος), 496: Λάσα (εἰκὼν Ἁγίου Κόνωνος).

**δ) Ἱερὰ Λείψανα**

1. Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἑνετίησιν 1788, Λευκωσία 1971 (ἀνατύπωσις ἐκδ. 1788), σ. 360: Εἰς τὴν Πάφον εὑρίσκεται τό Κρανίον τοῦ ἁγίου Κώνονος, (sic).

2. Λοΐζου Φιλίππου, Ἡ Ἱερὰ Μονὴ Χρυσορρογιατίσσης, Πάφος 1934, σσ. 53, 57, 58.

3. Ἰωάννου Π. Τσικνοπούλλου, Παναγία Χρυσορρωγιάτισσα, Λευκωσία 1964, 1965, σσ. 106-108, 15: 26 Λειψανοθῆκαι β', δ', 155: λειψανοθήκη ἐπίχρυσος ζ'.

4. Ἰωάννου Π. Τσικνοπούλλου, Ἡ Ἱερὰ Βασιλικὴ καὶ Σταυροπηγιακὴ Μονὴ τῆς Ὑπεραγίας Θεοτόκου τοῦ Μαχαιρᾶ, Λευκωσία 1968, σσ. 208-209: λειψανοθῆκαι 22, 27.

5. Ἡγουμένου Κύκκου Χρυσοστόμου, Ἡ Ἱερὰ Μονὴ τοῦ Κύκκου, Κύπρος 1969, σ. 65: λειψανοθῆκαι 9, 10, 12.

6. Otto Meinardus, *"Relics in the Churches and Monasteries of Cyprus", Ostkirchliche Studien* 19 (1970), σ. 33: Ἐσφαλμένως ἀποδίδει τὰ λείψανα τοῦ ἁγίου Κόνωνος εἰς τὸν ὁσιομάρτυρα Κόνωνα τῆς Ἱερᾶς Μονῆς Παναγίας Καντάρας τὸν τιμώμενον τὴν 19ην Μαΐου.

7. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 310: Ἁγίου Κόνωνος εἰκὼν καὶ τὸ ἱερὸν κρανίον.

8. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς πού ἅγιασαν τὴν Κύπρο, ἔκδοση δ' Λευκωσία 1988, σ. 306, ἔκδοση ε' Λευκωσία 1998, σσ. 312, 316.

9. Θεοφιλεστάτου Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, Ὁ Ἅγιος ὁσιομάρτυς Κόνων, Ἐν Παφιακὴ Ἐκκλησία, Πτυχὲς ἀπὸ τὴν ἱστορία καὶ τὸ ἁγιολόγιό της, Πάφος 2003, σ. 65.

10. Δρος Χαραλάμπους Μ. Μπούσια, Ἀκολουθία κοινὴ πάντων τῶν ἁγίων, ὧν τίμια λείψανα ἀποθησαυρίζονται ἐν τῇ Ἱερᾷ Μονῇ Κύκκου, μετὰ Παρακλητικοῦ Κανόνος καὶ Χαιρετιστηρίων Οἴκων, Ἀθῆναι 2005, σσ. 19, 54, 105.

11. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σ. 487: Κισσόνεργα, Ἱερὸς Ναὸς Ἁγίου Κόνωνος (ἔνθα ἀπεθησαυρίσθη τὸ Κρανίον τοῦ Ὁσίου).

**ε) Λαογραφικὴ παράδοσις**

1. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 147: Φωτογραφία Ἀκάμας βλ. καὶ σ. 160, ὅπου ἀναφέρεται ὅτι εἰς τὴν θέσιν Ἅγιος Κόνων καὶ Ἅγιος Γεώργιος εἰς τὸν Ἀκάμαντα μεταξὺ τῶν ἐρειπίων ὑπάρχουν τὰ θεμέλια πολὺ μικροῦ ναοῦ 14 πόδια ἐπὶ 7. Ἐκεῖ καὶ τεχνητὸν σπήλαιον λαξευτὸν μὲ τὴν ὀροφὴν στηριγμένην εἰς τὸ μέσον της.

2. Βλασίου Μοναχοῦ Σταυροβουνιώτου, Πατερικὸν τῆς νήσου Κύπρου (Ἅγιοι Ἀσκητές καὶ Σπήλαια τῆς Κύπρου), ἔκδ. β' Λάρνακα 1997, σσ. 123: Ἡ Ἁγία Κονώνη τῆς Πάφου, 134-135: Οἱ Ἀναχωρηταὶ τοῦ Ἀκάμαντος, ἔκδ. γ' Θεσσαλονίκη 1999, σσ. 142: Ἡ Ἁγία Κονώνη τῆς Πάφου, 155-156: Οἱ Ἀναχωρηταὶ τοῦ Ἀκάμαντος.

3. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σ. 697: Κόνων ὅσιος, 5 Μαρτίου, Τοπικὴ πανήγυρις εἰς τὸν Ἱερὸν Ναὸν Ἁγίου Κόνωνος, πλησίον Νέου Χωρίου Πάφου.